αὐτὸν ἔπεισεν. 5. οἱ δὲ στρατιῶται οὐκ ἔφασαν στρατεύσεσθαι[1] πρὶν μισθὸν αὐτοῖς δοίη. 6. ῥήτωρ γὰρ ἄριστος ἦν ὁ Τίμων, καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλῃ. 7. καὶ πολὺς ἠθροίζετο ὄχλος ὥστε μὴ δύνασθαι ἡμᾶς εἰς τὴν οἰκίᾱν εἰσ-ελθεῖν. 8. οὐ γὰρ μεταπέμψομαι τὴν θυγατέρα πρὶν ἂν τὴν ἐπιστολὴν δέχωμαι. 9. Τί δακρῡ́εις, ὦ Θέτι; Καλλίστην, ὦ Δωρί, κόρην[2] εἶδον, εἰς κῑβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμ-βληθεῖσαν. 10. ἐκέλευσε δὲ ὁ πατὴρ τοὺς ναύτᾱς ἀνα-λαβόντας τὴν κῑβωτὸν ἀφ-εῖναι εἰς τὴν θάλατταν. 11. ῑ̓ᾱτρός τις ἐμοὶ τὸν υἱὸν ἔπεμψεν ὥστε μαθεῖν τὰ γραμματικᾱ́.

584. 1. Let us follow before it is clear what the enemy will do. 2. While he lives, he will live more happily. 3. Whoever lives happily does not always die happily.

585. VOCABULARY

γραμματικά, τά, *letters, literature.*
κῑβωτός, ἡ, *wooden box, chest.*
ὁπόσος, η, ον, rel. pron., *as many as, whatever.*
ὅσος, η, ον, rel. pron., *as great as, as much* or *many as.*
πρόθῡμος, ον, adj., *ready, willing, eager.*
ἀνα-λαμβάνω (see **λαμβάνω**), *take up.*
δακρῡ́ω, δακρῡ́σω, ἐδάκρῡσα, δεδάκρῡμαι, *weep.*
δι-άγω (see **ἄγω**), *lead one's life; live.*
δια-τίθημι (see **τίθημι**), *dispose, treat.*
ἐμ-βάλλω (see **βάλλω**), *cast* or *place in.*
ζάω, ζήσω, *live, be alive.*
ἕως, conj., *as long as, while, until.*
πρίν, conj., *before, until.*
ὥστε, conj., *so that, so as.*

---

[1] **στρατεύσεσθαι . . . δοίη.** Change to direct discourse before translating.

[2] Danaë.

586. An Epigram of Lucillius

Ἰητήρ[1] τις ἐμοὶ τὸν ἑὸν[2] φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ "μῆνιν ἄειδε"[3] καὶ "ἄλγεα μυρί' ἔθηκεν"[3]
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ'[4] ἀκόλουθον[5] ἔπος,[6]
"πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προ-ΐαψεν,"[7]
οὐκέτι μιν[8] πέμπει πρός με μαθησόμενον.[9]
ἀλλά μ' ἰδὼν ὁ πατήρ, Σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε[10]·
αὐτὰρ[11] ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προ-ϊάπτω,
καὶ πρὸς[12] τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.[13]

---

[1] **ἰατρός.** [2] Poss. pron. from **οὗ**, corresponding to Lat. *suus.*
[3] "*Sing the wrath,*" and "*brought countless woes,*" from the opening lines of the Iliad.
[4] From **ὅδε**, *this.* [5] *following.* [6] *verse.*
[7] *and sent before their time many valiant souls to Hades.*
[8] **μιν = αὐτόν.** [9] What does the tense denote? [10] **φίλε.**
[11] **αὐτάρ = ἀλλά.** [12] *for.* [13] *need.*



Achilles dragging Hector's Body about the Walls of Troy.

LESSON LXVIII

VERBS IN MI—δείκνῡμι

587. Learn the principal parts and the present system of **δείκνῡμι**, *point out*, and the second aorist **ἔδῡν**, *entered* (709, 713).

1. Notice that the endings are added to the present stem, **δεικνῡ-**, instead of the verb stem, as in the **μι** verbs previously studied.

588. Compare the inflection of **δείκνῡμι** with that of **ἵστημι**, **τίθημι**, and **δίδωμι**, and see in what particulars it is the same.

1. Notice that the subjunctive and optative are formed as in **ω** verbs, but the latter is lacking in **ἔδῡν**.

2. There is no second aorist middle of this type.

3. See 689 for the declension of the active participles **δεικνῡ́ς** and **δῡ́ς**.

589. Translate: 1. *δεικνύᾱσι, δείκνῡσι, δεικνύναι.* 2. *δείκνυται, δείκνυσθαι, ἐδείκνυντο.* 3. *δείκνῡ, δείκνῡς, δεικνῡ́ς.* 4. *δεικνύωμεν, διδῶμεν, τιθῶμεν.* 5. *ἵνα δεικνύοι, ἵνα ἱσταίη, ἵνα διδοίη.* 6. *δεικνύντων, δείκνυσαι, δύντες.*

590. 1. He shows, he showed, let him show. 2. Showing, being shown, to show. 3. Let us not enter, let us not show, let us not give. 4. Show, enter, to be shown, they are shown. 5. They show, they let go, they give, they put, they set.

591. Translate: 1. *τοῖς δὲ παισὶν ἐδείκνυσαν ὅ τι δέοι ποιεῖν.* 2. *ὥστε ὥρᾱ ἐστὶν ἐπι-δεικνύναι ὅ τι τις*

γιγνώσκει ἄριστον εἶναι. 3. ἀπο-τεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπ-εδείκνυσαν τοῖς Ἕλλησι. 4. δίκαιον γάρ ἐστιν ἀπ-όλλυσθαι τοὺς ἐπι-ορκοῦντας. 5. ὦ κάκιστε ἀνθρώπων, τοὺς ἄνδρας αὐτοὺς ἀπ-ολώλεκας οἷς ὤμνῡς. 6. μετὰ τοῦτον ἄλλος ἀν-έστη ἐπι-δεικνὺς ὡς εὔηθες εἴη πλοῖα αἰτεῖν παρὰ Κῡ́ρου. 7. Κῦρος δὲ κατα-πηδήσᾱς ἀπὸ τοῦ ἅρματος τὸν θώρᾱκα ἐν-έδῡ. 8. ἐγώ σε οὐκέτι ἀφ-ήσω, ὦ Σώκρατες, πρὶν ἄν μοι ἃ ὑπ-έσχησαι ἀπο-δείξῃς. 9. ἐπι-δείκνῡ δέ μοι, ὦ λῷστε[1] σύ, τί δὴ πράττων ἥδιστα ἂν δι-άγοιμι. 10. πολλάκις δὲ καὶ βουλευόμενοι ἃ μὲν ἂν ἐπι-θῡμῶμεν πρᾱ́ττειν, ταῦτα ἐπ-αινοῦμεν, ἃ δ' ἂν μὴ βουλώμεθα, ταῦτα μεμφόμεθα.

592. 1. Put on your best robes, priests, for the queen herself approaches. 2. The god replied to all who asked, "Know thyself." 3. If you do not wish me to perish, show me what I must do.

593. VOCABULARY

εὐήθης, ες, adj., *silly, foolish.*

ἀπο-δείκνῡμι (see **δείκνῡμι**), *point out, make known.*

ἀπ-όλλῡμι, -ολῶ, -ώλεσα, -ολώλεκα and **-όλωλα, -ωλόμην**, *destroy, lose*; mid., *perish.*

ἀπο-τέμνω, -τεμῶ, -έτεμον and **-έταμον, -τέτμηκα, -τέτμημαι, -ετμήθην**, *cut off.*

γιγνώσκω, γνώσομαι, ἔγνων (714), **ἔγνωκα, ἔγνωσμαι, ἐγνώσθην**, *know, learn, think.*

δείκνῡμι, δείξω, ἔδειξα, δέδειχα, δέδειγμαι, ἐδείχθην, *point out, show.*

δῡ́ω, δῡ́σω, ἔδῡσα and **ἔδῡν, δέδῡκα, δέδυμαι, ἐδύθην**, *enter.*

ἐν-δῡ́ω (see **δῡ́ω**), *put on, clothe oneself in.*

ἐπι-δείκνῡμι (see **δείκνῡμι**), *show to, point out, show.*

ἐπι-ορκέω, ήσω, -ώρκησα, -ώρκηκα, *swear falsely.*

κατα-πηδάω, -πηδήσω, -επήδησα, -πεπήδηκα, *leap* or *jump down.*

ὄμνῡμι, ὀμοῦμαι, ὤμοσα, ὀμώμοκα, ὀμώμο(σ)μαι, ὠμό(σ)θην, *take an oath, swear.*

---

[1] See **ἀγαθός**.

594. The Birth of Athena

LUCIAN

(Hephaestus and Zeus)

Ηφ. Τί με, ὦ Ζεῦ, χρὴ ποιεῖν; ἥκω γάρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν (*ax*) ὀξύτατον,[1] ὥστε καὶ λίθον δια-κόψαι.[2]

Ζ. Εὖ γε, ὦ Ἥφαιστε· ἀλλ᾽ δί-ελέ[3] μου τὴν κεφαλὴν εἰς δύο.

Ηφ. Ὦ φίλε Ζεῦ· δέδοικα μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι. προσ-τάττε[4] μοί τι ἄλλο.

Ζ. τοῦτο αὐτό, δι-αιρεθῆναί μοι τὸ κρανίον·[5] μὴ δ᾽ ἀπειθήσῃς,[6] ἀλλὰ κόπτε παντὶ τῷ θῡμῷ (*heart*)· μηδὲ μέλλε, ἀπόλλυμαι γὰρ ὑπὸ ὠδίνων (*pains*), αἵ μοι τὸν[7] ἐγκέφαλον ἀνα-στρέφουσιν.[7]

Ηφ. ᾱ̓κων μέν, κόψω δέ. — τί τοῦτο; κόρη ἔνοπλος[8]; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ, καὶ εἰκότως (*naturally*) γ᾽ οὖν ὀξύθῡμος[9] ἦσθα· ἡ δὲ πηδᾷ[10] καὶ τὴν ἀσπίδα τινάσσει[10] καὶ τὸ δόρυ πάλλει.[11] πάνυ δὲ καλή ἐστι καὶ ἀκμαίᾱ (*grown up*) γεγένηται ἤδη ἐν βραχεῖ.[12] γλαυκῶπις (*bright-eyed*) μέν, ἀλλὰ κοσμεῖ[13] καὶ τοῦτο τὸ κράνος· ὥστε ἥδιστ᾽ ἂν ἄγοιμι αὐτὴν ἐπὶ γάμῳ (*marriage*).

Ζ. ἀδύνατα (*the impossible*) αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος (*virgin*) γὰρ ᾱ̓εὶ ἐθελήσει μένειν. ἐγὼ δ᾽ οὖν οὐδὲν ἀντιλέγω.[14]

---

1 Superlative of **ὀξύς**, *sharp*.
2 From **δια-κόπτω**, *cut through*.
3 Imperative of **δι-εῖλον**, from **δι-αιρέω**, *cleave*.
4 *command*.
5 **κεφαλήν**.
6 *disobey*.
7 *are racking my brain*.
8 *clad in armor*.
9 "*touchy*."
10 *is leaping about and brandishing*.
11 *flourishing*.
12 *in a moment* (*i.e.* while he is speaking).
13 See 509.
14 Cf. **ἀντ-εῖπον**, 531.

Ηφ. *τοῦτ' ἐβουλόμην· ἐμοὶ μελήσει*[1] *τὰ λοιπά, καὶ ἤδη συν-αρπάσω*[2] *αὐτήν.*

Ζ. *εἴ σοι ῥᾴδιον, οὕτω ποίει· ἀλλ' οἶδα ὅτι ἀδυνάτων ἐπιθῡμεῖς.*

Athena helps build a Boat.

LESSON LXIX

SECOND AORISTS OF THE MI FORM IN Ω VERBS

595. Review the inflection of **ἔστην** (710). Learn the second aorist of **γιγνώσκω** (714).

596. A few verbs in **ω** have second aorists inflected like verbs in **μι**. The most common second aorists of this form are: —

ἔβην (**βαίνω**, *go*), **βῶ**, **βαίην**, **βῆθι**, **βῆναι**, **βᾱ́ς**,
ἔφθην (**φθάνω**, *anticipate*), **φθῶ**, **φθαίην**, ——, **φθῆναι**, **φθᾱ́ς**,
inflected like **ἔστην**;

---

[1] *I will take care of.* [2] *take possession of.*

ἔδρᾱν (**διδρᾱ́σκω**,[1] *run*), **δρῶ**, **δραίην**, ——, **δρᾶναι**, **δρᾱ́ς**,
like **ἔστην**, but substituting **ᾱ** (after **ρ**) for **η**;

ἔγνων (**γιγνώσκω**, *know*), **γνῶ**, **γνοίην**, **γνῶθι**, **γνῶναι**, **γνούς**,
ἥλων or **ἑάλων** (**ἁλίσκομαι**, *be taken*), **ἁλῶ**, **ἁλοίην**, ——, **ἁλῶναι**, **ἁλούς**,
inflected like **ἔγνων**;

ἔδῡν (**δῡ́ω**, *enter*), cf. 713.

1. In **ἔφθην**, **ἔδρᾱν**, and **ἑάλων** the imperative is lacking.

597. TRANSLATE: 1. *ἔβη, ἐὰν γνῶμεν, ἥλωσαν.* 2. *εἰ βαῖεν, γνῶθι, ἀνα-βάς.* 3. *ἀπ-έδρᾱ, ἔστη, βῆναι.* 4. *ἔφθησαν, κατα-βήτω, γνοίη ἄν.* 5. *στῆναι, γνῶναι, δῦναι, θεῖναι.* 6. *εἰ ἁλοίην, ἐὰν φθῶμεν, ἵνα βαίη.*

598. 1. *φθῶμεν δια-βάντες*[2] *τὸν ποταμὸν τοὺς ἄλλους στρατιώτᾱς.* 2. *ἐκ δὲ τούτου ὁ κωμάρχης τῆς νυκτὸς ἀπο-δρὰς ᾤχετο κατα-λιπὼν τὸν υἱόν.* 3. *ἐὰν ὁ πατὴρ ἁλῷ, δίκην δώσει.* 4. *ἐνταῦθα δὴ ἅρματα ἑάλω, ἐκ-π̄ιπτόντων τῶν ἡνιόχων.*[3] 5. *καὶ ὁ Ἀστυάγης ἐπ-ήρετο, Καὶ πῶς δὴ σὺ τοῦτο ἔγνως, ὦ παῖ;* 6. *πρῶτον μὲν οὐκ ἤθελεν ὁ παῖς ἐσθίειν· γευσάμενος δ' ἔγνω ὅτι τὰ κρέᾱ ἡδέα εἴη.* 7. *ὡς δὲ οἱ πολέμιοι τοῦτο γνόντες ἐτράποντο εἰς φυγήν, ἐνταῦθα ὁ Κῦρος διώκειν ἐκέλευσε τοὺς ἑαυτοῦ.* 8. *ὑμᾶς χρὴ δια-βῆναι τὸν Εὐφράτην ποταμὸν πρὶν δῆλον εἶναι ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-κρινοῦνται Κύρῳ.* 9. *τῶν δὲ πεζῶν Ἀσσυρίων*[4] *οἳ ἔτυχον τὸ χωρίον πολιορκοῦντες*[5] *οἱ μὲν εἰς*

---

[1] Usually **ἀπο-διδρᾱ́σκω**. [2] 439. [3] 392. [4] 112. [5] 439.

τὸ τεῖχος κατ-έφυγον, οἱ δὲ ἔφθησαν εἰς πόλιν τινὰ μεγάλην ἀφ-ικόμενοι.[1] 10. καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλατταν· καὶ συν-ήχθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμ-βάντα εἰς τὸ πλοῖον καθῆσθαι[2] ἐν τῇ θαλάττῃ.

599. 1. If the chariots should be taken, would the drivers cross the canal? 2. Let us run away before the others know where we are. 3. On learning this he fled in order not to be taken.

600. VOCABULARY

ἡνίοχος, ὁ, *driver, charioteer.*
κωμάρχης, ου, ὁ, *village chief.*
πεζός, ὁ, *foot soldier.*
ἁλίσκομαι, ἁλώσομαι, ἥλων or **ἑάλων, ἥλωκα** or **ἑάλωκα,** *be taken* or *captured.*
ἀπο-διδρᾱ́σκω, -δρᾱ́σομαι, -έδρᾱν, -δέδρᾱκα, *run away, slip off.*
βαίνω, βήσομαι, ἔβην, βέβηκα, βέβαμαι, ἐβάθην, *walk, go.*
δια-βαίνω (see **βαίνω**), *go across, cross.*
ἐθέλω, ἐθελήσω, ἠθέλησα, ἠθέληκα, *wish.*
ἐκ-πίπτω (see **πίπτω**), *fall out.*
ἐπ-ηρόμην, 2 a., *ask again, inquire.*
κάθ-ημαι, pres. with form of pf. (720), *sit, sit down.*
οἴχομαι, οἰχήσομαι, *be gone, have gone.*
συν-άγω (see **ἄγω**), *collect, gather, assemble.*
τρέπω, τρέψω, ἔτρεψα and **ἔτραπον, τέτροφα** and **τέτραφα, τέτραμμαι, ἐτρέφθην** and **ἐτράπην,** *turn*; mid., *turn.*

LESSON LXX

VERBAL ADJECTIVES

601. From Greek verbs are derived certain adjectives in **τος** and **τεος** corresponding generally to Latin participles in **tus** and **ndus**. Their stem is found by adding **το-**

[1] 439. [2] 580.

or **τεο-** to the verb stem as found in the first aorist passive; as **λυτός** (**λυτο-**), aor. pass. **ἐλύθην**, **πεμπτέος** (**πεμπτεο-**), aor. pass. **ἐπέμφθην**.

1. Here **φ** and **χ** become **π** and **κ** before **τος** and **τεος**.

602. Verbals are declined like adjectives in **ος** (681).

603. MODEL SENTENCES

a. **πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί**, "*for many be called, but few chosen.*"

b. **σὺν μὲν γὰρ σοὶ πᾶς ποταμὸς διαβατός**, *for with you every river is fordable.*

c. **ποταμὸς δέ τις ἄλλος ἡμῖν διαβατέος**, *some other river must be crossed* (*is to-be-crossed*) *by us.*

d. **τούτους δ' οὖν τοὺς ποταμοὺς ἡμῖν διαβατέον** (**ἐστίν**), *but at any rate we must cross these rivers.*

1. Observe the two meanings of the verbal adjective in **τός**,— in **κλητοί** and **ἐκλεκτοί** that of a perfect passive participle, in **διαβατός** that of an adjective in **bilis**, denoting *capability* or *possibility.*

2. Observe the differences in construction and translation in *c* and *d*; and notice that **διαβατέος** agrees in gender, number, and case with the subject, **ποταμός**, while **διαβατέον** is impersonal, standing in the nominative neuter, and, like its verb, allows an object. This is the more common construction.

3. Compare the case used to express agent in *c* and *d* with that used in Latin with the gerundive.

4. *Must* is more commonly expressed by **δεῖ** or **χρή** with the infinitive.

604. **Rule of Syntax.** — The agent with verbal adjectives in **τέος** is expressed by the dative.

605. Translate: 1. οὐ γὰρ τοξεύειν ἡμῖν ἐστι μαθητέον ὥσπερ τοῖς παισίν. 2. εἴπερ οὖν τῆς πατρίδος ἐπι-θῡμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας. 3. ὠφελητέᾱ σοι ἡ πόλις ἐστίν, εἴπερ τιμᾶσθαι βούλει. 4. ἆρα ἀγωνιστέον ἡμῖν, ὦ Κῦρε, πρὸς τοὺς ἄνδρας; Ἀνάγκη γάρ, ἔφη. 5. ἀλλ' ὅπως μὴ ἐπὶ βασιλεῖ γενησόμεθα πάντα ποιητέον. 6. ῡ̔μῖν γε οὐκ ἀθῡμητέον, καὶ εἰ μηδεὶς φανεῖται ἡγεμών. 7. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς εἴτε ταῦτα πρᾱκτέον εἴτε μή. 8. ἡμῖν γε οἶμαι πάντα ποιητέα ἵνα μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, ἐᾱ̀ν δυνώμεθα, ἐκεῖνοι ἐφ' ἡμῖν. 9. ὅτᾱν δὲ δῶρα διδῷ βασιλεύς, πρῶτον καλεῖ τοὺς ἐν πολέμῳ ἀρίστους γεγενημένους. 10. ἐᾱ̀ν τοῦτο διαπρᾱ́ξῃ, ὀνομαστὸς ἔσει πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι, ὅπου δ' ἂν ᾖς πανταχοῦ περί-βλεπτος ἔσει.

606. 1. It will not be strange if we have to throw that wine into the river. 2. There was in the army a man called Xenophon. 3. Xenophon thought that his men ought to pursue.

607. VOCABULARY

ἀγωνίζομαι, ἀγωνιοῦμαι, ἠγώνισμαι, ἠγωνίσθην, *contend.*
ἀθῡμέω, ήσω, etc., *be despondent.*
δια-πρᾱ́ττομαι (see **πρᾱ́ττω**), *bring about, accomplish.*
εἴπερ, conj., *if indeed.*
ἐκ-λεκτός, ή, όν, verbal adj. from **ἐκ-λέγω,** *choose out; chosen.*
ἔπειτα, adv., *thereupon, then, further.*
καλέω, καλῶ, ἐκάλεσα, κέκληκα, κέκλημαι, ἐκλήθην, *call.*
μήποτε, adv., *never.*
πανταχοῦ, adv., *everywhere.*
πατρίς, πατρίδος, ἡ, *native land.*
περί-βλεπτος, η, ον, verbal adj. from **περι-βλέπω,** *look around at, gaze on, admire.*
ὠφελέω, ήσω, etc., *aid, assist.*

608. Κλέπται καὶ Ἀλεκτρυών

Κλέπται[1] εἴς τινα εἰσ-ελθόντες οἰκίᾱν, οὐδὲν ηὗρον εἰ μὴ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπ-ῄεσαν.[2] ὁ δὲ μέλλων ὑπ' αὐτῶν θῡ́εσθαι ἐδεῖτο[3] αὐτῶν ἀπο-λῡ́ειν (*release*) αὐτόν, λέγων ὅτι χρήσιμος[4] εἴη τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων.[5] οἱ δὲ ἔφασαν, Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θῡ́σομεν· ἐκείνους γὰρ ἐγείρων κλέπτειν ἡμᾶς οὐκ ἐᾷς. —

Ὁ μῦθος (*fable*) δηλοῖ[6] ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐν-αντιοῦται[7] ἃ τοῖς χρηστοῖς[8] ἐστιν εὐεργετήματα.[9]

LESSON LXXI

IRREGULAR MI VERBS — εἶμι — REVIEW OF εἰμί AND φημί — ACCUSATIVE ABSOLUTE

609. Learn the inflection of **εἶμι**, *go* (716). Review **εἰμί** and **φημί**, learning in addition the subjunctive, optative, imperative, etc., of the latter.

1. The present indicative of **εἶμι** has a future force.

2. The form **φάσκων** is used in prose instead of the participle **φᾱ́ς**.

610. TRANSLATE: 1. εἶμι, εἰμί, ἦν, ᾖα. 2. φησί, φᾱσί, φάναι, φῆσαι. 3. ἦμεν, ᾖμεν, εἶτιν, εἰσίν. 4. ἴσθι, ἴθι, ἰών, ὤν. 5. ἦσαν, ἴωμεν, ἴᾱσι, φῶμεν. 6. ἔφησαν, ἔφασαν, ἔσται, ᾖσαν.

---

[1] κλῶπες.

[2] ἀπ-ῄεσαν = ἀπ-ῆλθον.

[3] *begged.*

[4] *useful.*

[5] *rousing.*

[6] For δηλόει, from δηλόω, *show* (708).

[7] *are a hindrance.*

[8] *good, honest.*

[9] *acts of kindness, services.*

611. 1. They are, he is going, they say, they said. 2. He is, I am going, I am, I was. 3. To go, to be, to say, to know. 4. Let him go, let him be, let him know, let him say. 5. He went, he was, being, knowing, going.

612. MODEL SENTENCES

a. **ἀλλὰ τί δεῖ μένειν, ἐπεὶ ἔξ-εστιν ἀπ-ιέναι;**
b. **ἀλλὰ τί, ἐξ-ὸν ἀπ-ιέναι, δεῖ μένειν;** } *but why, when it is possible to go back, must we remain?*

1. Observe that the clause **ἐπεὶ ἔξ-εστιν** may be expressed by a participle, not in the genitive, as in 392, but in the accusative. This is called the **accusative absolute.**

613. Rule of Syntax. — The participles of impersonal verbs, and of other verbs when used impersonally, may stand in the *accusative absolute* in the neuter singular, when others would be in the genitive absolute.

614. TRANSLATE: 1. *ἀλλὰ τί δὴ ὑμᾶς ἐξ-ὸν ἀπολέσαι οὐκ ἐπὶ τοῦτο ἤλθομεν;* 2. *Κλέαρχος δὲ ἀνὴρ ἦν ὅστις ἐξ-ὸν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης αἱρεῖται πολεμεῖν.* 3. *ἐξ-ὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν*[1] *μείονα ταῦτα ποιεῖν.* 4. *δόξαν τοίνυν σοι καλῶς, πρόσ-ιθι πρὸς αὐτόν.* 5. *ἀπ-ιέναι δοκοῦν σκεπτέον ἐστὶν ὅπως ἀσφαλέστατα ἄπ-ιμεν*[2] *καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν.*

615. TRANSLATE: 1. *ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν ὅτι ἤδη καιρὸς εἴη ἄγειν ἐπὶ τοὺς πολεμίους.* 2. *εἰ γὰρ νῦν, ἔφη, ἔτι ὀλίγοι εἰσίν, ἐν ᾧ*[3] *ἂν προσ-ίωμεν πολλοὶ ἔσονται.* 3. *μὴ οὖν μείνωμεν ἕως ἂν πλείους ἡμῶν γένωνται· ἀλλ' ἴωμεν ἕως*

[1] Cf. 388, *d.* [2] See 609, 1. [3] *while* (sc. **χρόνῳ**).

ἔτι οἰόμεθα ἐξ-εῖναι αὐτῶν κρατῆσαι. 4. ἐν τούτῳ δὲ ἧκέ τις καὶ ἔλεγεν ὅτι οἱ πολέμιοι ἐξ-ίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις καὶ παρα-τάττοι αὐτοὺς αὐτὸς ὁ βασιλεύς. 5. ὡς ἤρξατο ἄγειν ὁ Κῦρος, οἱ στρατιῶται εἵποντο ἡδέως· ἠπίσταντο γὰρ ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις ἐξ ἀρχῆς. 6. ὁ δὲ Κλέαρχος ἐβουλεύετο Πρόξενον καλέσᾱς εἰ πέμποιέν τινας ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον. 7. καὶ ὑμεῖς ἦτε μὲν καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί· νῦν δὲ χρὴ ἔτι ἀμείνους γίγνεσθαι. 8. οὐδεὶς ἦν ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι. 9. ἐπεὶ δὲ δι-έβησαν τὴν τάφρον ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώρᾱν ἔνθεν ὥρμηντο. 10. εὖ ἴστε, ὦ ἄνδρες, ἔφη, ὅτι ἥκω οὐκ ἔχων χρήματα· ἐὰν μέντοι θεὸς ἐθέλῃ, πειρᾱ́σομαι πορίζειν τὰ ἐπιτήδεια ὑμῖν ὡς πλεῖστα.

616. VOCABULARY

αἰσχῡ́νη, **ἡ**, *shame, disgrace.*

καιρός, **ὁ**, *the fitting time, opportunity.*

τάφρος, **ἡ**, *trench, ditch.*

ὑπήκοος, **ον**, adj., *obedient, subject (to).*

εἶμι, *go.*

ἔξ-ειμι, *go forth, take the field* (**εἶμι**).

ἐπίσταμαι, **ἐπιστήσομαι**, **ἠπιστήθην**, *understand, know.*

κρατέω, **ήσω**, etc., *be strong, rule, conquer.*

παρα-τάττω (see **τάττω**), *draw up side by side; draw up, marshal.*

πρόσ-ειμι, *go to, approach* (**εἶμι**).

σκεπτέον, verbal of **σκέπτομαι**, *consider*, used for **σκοπέω**.

ἀκινδῡ́νως, adv., *without danger.*

ἔνθεν, adv., *from which, whence.*

ὁμόσε, adv., *to the same place; to close quarters, hand to hand.*

πρότερον, adv., *before, formerly.*

τοίνυν, adv., postpositive, *therefore, then.*

ἄνευ, prep. with gen., *without.*

617. Anaxandrides on the Egyptians

Οὐκ ἂν δυναίμην συμ-μαχεῖν[1] *ὑμῖν ἐγώ·*
οὔθ'[2] *οἱ τρόποι*[3] *γὰρ ὁμονοοῦσ'*[4] *οὔθ' οἱ νόμοι*
ἡμῶν, ἀπ' ἀλλήλων[5] *δὲ δι-έχουσι*[5] *πολύ.*
βοῦν προσ-κυνεῖς,[6] *ἐγὼ δὲ θύω τοῖς θεοῖς·*
τὴν ἔγχελυν[7] *μέγιστον ἡγεῖ δαίμονα,*[8]
ἡμεῖς δὲ τῶν ὄψων[9] *μέγιστον παρὰ πολύ.*[10]
οὐκ ἐσθίεις ὕει',[11] *ἐγὼ δέ γ' ἥδομαι*
μάλιστα τούτοις· κύνα σέβεις,[12] *τύπτω*[13] *δ' ἐγώ,*
τοὔψον[14] *κατ-εσθίουσαν*[15] *ἡνίκ' ἂν*[16] *λάβω. —*
τὸν αἰέλουρον[17] *κακὸν*[18] *ἔχοντ' ἐὰν ἴδῃς,*
κλάεις,[19] *ἐγὼ δ' ἥδιστ' ἀπο-κτείνᾱς δέρω.*[20]
δύναται[21] *παρ' ὑμῖν μῦγαλῆ,*[22] *παρ' ἐμοὶ δέ γ' οὔ.*

LESSON LXXII

REVIEW OF MI VERBS — NEGATIVES

618. Review the inflection of the model verbs in 710–717.

619. Write synopses in the first or third person singular and plural, as in 495, 496, and 503.

---

[1] Cf. **σύμμαχος**. [2] For **οὔτε**. [3] *ways.* [4] *agree.*
[5] *differ from one another.*
[6] *worship.* Notice the change from plural to singular.
[7] *eel.* [8] **θεόν**. [9] *delicacies.* [10] *by far.*
[11] For **ὕεια** (sc. **κρέᾱ**), *pork.* [12] *reverence.* [13] *beat.*
[14] For **τὸ ὄψον**. [15] What is the force of **κατά** here?
[16] **ἡνίκ' ἄν** = **ἐπειδάν**, 578. [17] *cat.* [18] **κακῶς**.
[19] *weep.* [20] *skin.* [21] Cf. 518. [22] *field mouse.*

Negatives

620. Of the two negative adverbs,

Οὐ is used with the indicative and optative in all independent sentences, except wishes (375); also in causal clauses and indirect discourse.

1. But in questions expecting a negative answer **μή** (**ἆρα μή, μῶν** = Latin *num*, 550) is used with the indicative.

621. **Μή** is the negative of the subjunctive and imperative; it is used in final and object clauses, in conditional sentences and relative and temporal clauses implying a condition, and in wishes.

1. But after **μή**, *lest*, **οὐ** is used.

622. Participles expressing or implying a condition require **μή**. Otherwise the negative of the participle is **οὐ**.

623. The negative of the infinitive is **μή**, except in indirect discourse, where **οὐ** is used to retain the negative of the direct form.

624. The compound negatives **οὐδείς, μηδείς, οὔποτε, μήποτε**, etc., follow the same rules as **οὐ** and **μή**.

625. MODEL SENTENCES

a. **οὐδεὶς οὐκ ἔπασχέ τι**, *no one was unaffected, there was no one who was not affected;* i.e. *every one was affected.*

b. **οὐδ᾽ ἄλλος δὲ τῶν Ἑλλήνων ἔπαθεν οὐδεὶς οὐδέν**, *nor did anybody else of the Greeks receive any injury at all.*

c. **οὐ μὴ γένηται**, *it will not happen.*

1. Observe that the simple negative **οὐ** in *a* contradicts the statement **οὐδεὶς ἔπασχε**, making an affirmative as in English; while **οὐδ᾽** (**οὐδέ**) in *b* only strengthens the negation in **οὐδείς**, and **οὐδέν** makes it still more negative.

2. Notice in *c* a new way of making a strong negative statement. The usual phrase would be **οὐ γενήσεται.**

626. Rule of Syntax. — When a negative is followed by a simple negative (**οὐ** or **μή**) in the same clause, each retains its own force; when followed by one or more compound negatives, the negative is strengthened.

But **οὐ μή** with the subjunctive (and occasionally the future indicative) are equivalent to an emphatic future indicative with **οὐ**.

627. TRANSLATE: 1. *ἱστᾶσι, τίθει, ἵνα ἱῇ, ἔβη.* 2. *παρ-ετίθεσαν, θές, ἐδίδου, γνοίη ἄν.* 3. *στῆναι, θέμενοι, ἵησι, δός.* 4. *τιθέᾱ τι, ἵεσθαι, ἔξ-εστιν, ἐν-έδῡ.* 5. *ἀνα-στᾱ́ς, ἀφ-εῖναι, ἴθι, ἐπι-θέσθαι.* 6. *ἔθου, ἀπο-στῆναι, διδόντων, ἐᾱ̀ν ἦτε.* 7. *στῆθι, ἕς, ἐξ-όν, ἵνα δοίη.* 8. *ἐπι-θείς, ἀν-έστη, δίδωσι. εἶ.* 9. *ὤμνῡς, καθ-ιστάναι, θέσθε, δείκνῡ.* 10. *παρα-διδούς, ἧσαν, οὐ μὴ ἐπι-θῇ, οὐ μὴ ἀφ-ήσετε.*

628. 1. He was standing, to put, if they should attack, learning. 2. They arose, let him attack, he shows, put on. 3. He put, to set, they let go, enter. 4. Let us revolt, let him rush, showing, to know. 5. If they should be taken, they said, he went, go.

629. TRANSLATE: 1. *ὃς ἂν μὴ δέξηται τὴν βασιλείᾱν Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσ-έλθῃ εἰς αὐτήν.* 2. *ἐᾱ̀ν δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπό-σχωμεν,*[1] *οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς κατα-λαβεῖν.* 3. *ἐᾱ̀ν δὲ ὑμεῖς προθῡ́μως ἀφ-ιῆτε τὰ δόρατα, οὐδεὶς τῶν πολε-*

---

[1] From **ἀπ-έχω.**

μίων[1] οὐ τεύξεται. 4. εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦσθα πιστός, ἐπὶ πολλῶν σε κατα-στήσω. 5. ἄφ-ετε τὰ παιδία καὶ μὴ κωλῦετε αὐτὰ ἐλθεῖν πρός με. 6. ἀκούσᾱς δὲ ταῦτα ὁ Σωκράτης εἶπεν, Ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κῦριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων ἢ τῶν ἐν τῷ πολέμῳ. 7. Ἀλλὰ καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, πάνυ ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα ὥστε εἶναι οἵᾱν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς δι-οικεῖν τὰ ἐν τῇ οἰκίᾳ. 8. λέγει αὐτῷ ὁ Πέτρος, Κἂν δέῃ με σὺν σοὶ ἀπο-θανεῖν, οὐ μή σε ἀπ-αρνήσομαι· ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον. 9. ἐν πάσῃ τῇ μάχῃ τῶν Ἑλλήνων ἔπαθεν οὐδεὶς οὐδέν. 10. τίς οὕτως ἐστὶ δεινὸς λέγειν[2] ὥστε σε πεῖσαι λέγων[3] ὡς ἡμεῖς σοι ἐπι-βουλεύομεν;

630. 1. You shall not attack the enemy in the night. 2. There was no one of the soldiers who did not hurl his spear. 3. But if it is possible to come forth without danger, why do you linger in the tents?

631. VOCABULARY

γεωργίᾱ, ἡ, *husbandry, farming.*

κῦριος, ᾱ, ον, adj., *having power* or *authority (over).*

οἷος, ᾱ, ον, rel. pron., *such as.*

ἀπ-αρνέομαι, ήσομαι, -ηρνησάμην and **-ηρνήθην**, *deny.*

δι-οικέω, ήσω, etc., *manage a house; manage, administer.*

ὁμοίως, adv., *in like manner, in the same way.*

πότερα, interrogative adv. = **πότερον**, *whether.*

[1] 297, 1. [2] Cf. 350, *f*. [3] 388, *d*.

SELECTIONS FOR READING

632. The Faithful Man

Ὅστις ἄνδρα φίλον μὴ προ-δίδωσιν, μεγάλην ἔχει τιμὰν[1] ἔν τε βροτοῖς ἔν τε θεοῖσιν[2] κατ' ἐμὸν νόον.[3]

633. When a Man's Hungry

Πεινῶντι γὰρ ἀνδρὶ μᾶζα τιμιωτέρα
χρυσοῦ[4] τε κἀλέφαντος.[5] — ACHAEUS.

634. The Worth of Friends

Οἱ δὲ φίλοι, ἐάν τις ἐπίστηται αὐτοῖς[6] χρῆσθαι ὥστε ὠφελεῖσθαι, τί φήσομεν αὐτοὺς εἶναι; Χρήματα, νὴ Δί', ἔφη ὁ Κριτόβουλος. — XENOPHON.

635. A Most Ungallant Sentiment

Κακὸν[7] γυναῖκες,[8] ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν[9] ἄνευ κακοῦ·
καὶ γὰρ τὸ γῆμαι[10] καὶ τὸ μὴ γῆμαι κακόν.[7]
— SUSARION.

636. On Your Guard

Λάβετε μου θαἰμάτια,[11] κόψω Βουπάλου τὸν ὀφθαλμόν,
ἀμφιδέξιος γάρ εἰμι κοὐχ[12] ἁμαρτάνω κόπτων.
— HIPPONAX.

---

[1] For **τιμήν**.
[2] For **θεοῖς**.
[3] For **νοῦν**.
[4] 336.
[5] For **καὶ ἐλέφαντος**.
[6] 403, 7.
[7] Predicate.
[8] Sc. **εἰσίν**.
[9] *keep house.*
[10] 409.
[11] For **τὰ ἱμάτια**.
[12] For **καὶ οὐχ**.

637. a. Four Blessings

ὑγιαίνειν[1] μὲν ἄριστον ἀνδρὶ θνητῷ,
δεύτερον δὲ καλὸν φυὰν[2] γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

b. "Man Wants but Little Here Below"

Αἰτῶ γ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,
τρίτον[3] δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί.

638. Anaxandrides' Criticism of the Above

ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν,
τὸ μὲν ὑγιαίνειν[4] πρῶτον ὡς ἄριστον ὂν
ὠνόμασεν ὀρθῶς· δεύτερον δ' εἶναι καλόν,
τρίτον δὲ πλουτεῖν, τοῦθ',[5] ὁρᾷς, ἐμαίνετο·
μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν δια-φέρει·
καλὸς δὲ πεινῶν[6] ἐστιν αἰσχρὸν θηριόν.

639. Socrates' Creed

Ἐπι-μελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων,[7] οὐχ ὃν τρόπον[8] οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δ' οὐκ εἰδέναι· Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα[9] καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρ-εῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις[10] περὶ τῶν ἀνθρωπείων πάντων.

---

[1] For **τὸ ὑγιαίνειν**, subject of **ἐστίν** to be supplied.
[2] For **φυήν**. [3] *Thirdly.*
[4] Accusative; so also **εἶναι καλόν** and **πλουτεῖν**.
[5] For **τοῦτο**, in apposition with **τὸ ὀνομάζειν**, *in naming*, 148.
[6] Sc. **ἀνήρ**. [7] 297. [8] Adverbial. [9] 384, 105. [10] 113.

640. The Honey-stealer

Τὸν δὲ κλέπτην ποτ' Ἔρωτα, κηρίον ἐκ τῶν σίμβλων κλέπτοντα, ἐκέντησε μέλιττα, πάντας δὲ τοὺς δακτύλους ὑπ-ένυξεν. ὁ δὲ ἄλγει[1] καὶ τὰς χεῖρας ἐφύσα καὶ ἐπάταξε τὴν γῆν καὶ ἥλατο.[2] ἔδειξε δὲ τὰ τραύματα τῇ Ἀφροδίτῃ, καὶ ἐμέμφετο ὅτι μέλιττα, καίπερ μικρὸν θηρίον ὄν,[3] τοῖα τραύματα ποιεῖ. ἡ δὲ μήτηρ γελάσασα ἀπ-εκρίνατο, Σὺ δ' οὐκ ἴσος εἶ ταῖς μελίτταις[4]; σὺ γὰρ μικρὸς μὲν εἶ, τὰ δὲ τραύματα ποῖα ποιεῖς!

641. Γέρων καὶ Θάνατος

Γέρων ποτὲ ξύλα κόψας ταῦτα φέρων πολλὴν ὁδὸν[5] ἐβάδιζε. διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀπο-θέμενος τὸ φορτίον τὸν Θάνατον ἐπ-εκαλεῖτο. τοῦ δὲ Θανάτου φανέντος[6] καὶ πυθομένου δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη, Ἵνα τὸ φορτίον ἄρῃς.[7]

642. Κύων Κρέας Φέρουσα

Κύων κρέας ἔχουσα ποταμὸν δι-έβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐνόμισεν ἑτέραν

---

[1] 403, 2. [2] From **ἅλλομαι.**

[3] Neuter to agree with **θηρίον**, instead of feminine with **μέλιττα**.

[4] 116. [5] Cognate acc.; cf. 353, 1. [6] 392. [7] From **αἴρω.**

κύνα εἶναι, μεῖζον κρέας ἔχουσαν. διόπερ ἀφ-εῖσα[1] τὸ ἴδιον[2] ὥρμησεν ὡς τὸ ἐκείνης[2] ἀφ-αιρησομένη.[3] ἀμφοτέρων[4] δ' οὖν ἐστερήθη, τοῦ μὲν[5] οὐκ ἐφ-ικομένη, διότι οὐδ' ἦν, τοῦ δὲ,[5] ὅτι ὑπὸ τοῦ ποταμοῦ ἡρπάσθη.

643. The Real Treasure

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὑτοῦ παῖδας ἐμπείρους ποιῆσαι τῆς γεωργίας,[6] μεταπεμψάμενος αὐτοὺς ἔφη, Τέκνα μου, ἐν ἑνί μου τῶν ἀμπελώνων[7] θησαυρὸς ἀπό-κειται. οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν δικέλλας λαβόντες πᾶσαν αὑτῶν τὴν γεωργίαν ὤρυξαν,[8] καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δ' ἄμπελος πολὺ πλείονα φορὰν αὐτοῖς ἀντ-εδίδου. — ὁ λόγος δηλοῖ[9] ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.[10]

---

1 From **ἀφ-ίημι.**
2 Sc. **κρέας.**
3 388, *e.*
4 203.
5 105; or with **ἐφ-ικομένη**, 297.
6 Objective gen. with **ἐμπείρους.**
7 112.
8 From **ὀρύττω.**
9 See 608.
10 Dat. of reference.

A Greek Plow.

644. Λύκοι καὶ Κύνες

Λύκοις καὶ κυσὶν[1] ἦν ποτε ἔχθρα· κύων δὲ Ἕλλην ᾑρέθη στρατηγὸς[2] κυσίν.[3] οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν· οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς. ὁ δ᾽ εἶπεν, Ἴστε διὰ τί βραδύνω; πρέπον ἐστὶν ἀεὶ προ-βουλεύεσθαι. ὑμῶν γὰρ τὸ γένος καὶ ἡ χροιὰ πάντων ἕν ἐστιν· οἱ ἡμέτεροι δ᾽ ἐκ πολλῶν τρόπων εἰσὶ καὶ ἡ χροιὰ ἁπάντων οὐκ ἔστι μία καὶ ἴση· ἀλλ᾽ οἱ μὲν μέλανες, οἱ δὲ πυρροί, οἱ δὲ λευκοί. καὶ πῶς ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοια πάντα ἐχόντων;

645. Ἐχθροί

Δύο ἐχθροὶ ἐν μιᾷ[4] νηὶ ἔπλεον, ὧν[5] ὁ μὲν ἐπὶ τῆς πρύμνης, ὁ δὲ ἐπὶ τῆς πρῴρας ἔμενε. χειμῶνος δὲ ἐπι-γενομένου καὶ τῆς νεὼς μελλούσης ἤδη κατα-ποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο πότερον[6] τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει κατα-δύεσθαι. τοῦ δὲ[7] εἰπόντος Τὴν πρῴραν, ἔφη, Ἀλλ᾽ ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατός ἐστιν, εἴ γε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνῄσκοντα.

οὕτως πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται καὶ αὐτοὶ τὸ δεινὸν πάσχειν, ἐὰν τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

---

[1] 115.
[2] 104.
[3] Cf. **ἀνθρώποις**, 643.
[4] Dat. fem. of **εἷς**.
[5] 112.
[6] Neuter of **πότερος**.
[7] *and he.*

646. ʽΟδοιπόροι καὶ Ἄρκτος

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν[1] ἐβάδιζον. ἄρκτου δὲ αὐτοῖς ἐπι-φανείσης, ὁ μὲν εἷς φθάσας ἀν-έβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος, πεσὼν ἐπὶ τῆς γῆς ἑαυτὸν νεκρὸν[2] προσ-εποιεῖτο. τῆς δὲ ἄρκτου προσ-ενεγκούσης[3] αὐτῷ[4] τὸ ῥύγχος καὶ περι-οσφραινο-μένης, τὰς ἀναπνοὰς συν-εῖχε· φασὶ γὰρ νεκροῦ[5] οὐχ ἅπτεσθαι τὸ ζῷον. ὅτε δ' ἔξω τοῦ δεινοῦ ἐγένοντο, ὁ[6] ἀπὸ τοῦ δένδρου κατα-βὰς ἐπυνθάνετο τοῦ ἑτέρου[7] τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἰρήκει.[8] ὁ δ' εἶπε, τοῦ λοιποῦ[9] τοιούτοις[4] μὴ συν-οδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παρα-μένουσιν.—

Αἱ συμφοραὶ δοκιμάζουσι τοὺς γνησίους τῶν φίλων.

---

[1] See 641. [2] 108. [3] From **προσ-φέρω.** [4] 322. [5] 297.

[6] **ὁ ἀπό,** the so-called pregnant use of the preposition: The man *in* the tree descended *from* it.

[7] 398, 1. [8] From **εἶπον.** [9] *henceforth.*

A Wandering Minstrel.

647. Diogenes

Πολλοὶ δὴ ἦσαν τοῖς Ἕλλησιν[1] ἀγῶνες, ἐν οἷς καὶ τοῖς θεοῖς ἔθυον καὶ οἱ νεανίαι πάσης τῆς Ἑλλάδος δι-αγωνίζοντο πρὸς ἀλλήλους καὶ εἰς[2] τὸ ἱππεύειν καὶ εἰς τὸ τρέχειν· πολλάκις δὲ καὶ ἐτόξευον καὶ ἠκόντιζον. τοὺς δὲ νικῶντας μάλιστα ἐτίμων, καὶ ἆθλα ἐδίδοσαν αὐτοῖς πλείστου[3] ἄξια, φιάλας[4] ἀργυρᾶς, ἢ ὅπλα καλά, ἢ ἄλλα χρήματα.

πάντων δὲ τῶν ἀγώνων πολὺ δὴ μέγιστος ἦν ὁ ἐν τῇ Ἤλιδι γιγνόμενος. Διογένη[5] δέ ποτε τὸν φιλόσοφον, κατ-ελθόντα ἀπὸ τοῦ ἀγῶνος, ἠρώτησέ τις, Πόθεν ἥκεις, ὦ Διόγενες;—Ἀπὸ δὴ τῶν Ὀλυμπίων.—Ἦ πολὺς ὄχλος, ἔφη, παρ-ῆν;—Πολὺς μὲν ὄχλος, ἀπ-εκρίνατο, ὀλίγοι δὲ ἄνθρωποι.

Ὁ δ' αὐτὸς Διογένης, ἐρωτηθείς ποτε, Ποῖον γὰρ οἶνον ἡδέως πίνεις; Τὸν ἀλλότριον, ἀπ-εκρίνατο.

648. A Tedious Speaker

Τὸν μὴ λέγοντα τῶν δεόντων[6] μηδὲ ἓν
μακρὸν νόμιζε, κἂν δύ'[7] εἴπῃ συλλαβάς.
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.[8]
τεκμήριον[9] δὲ τοῦδε τὸν Ὅμηρον λαβέ·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν[10] μακρόν.

---

[1] 115. [3] 226. [5] Acc. [7] **καὶ ἐὰν δύο.**
[2] *In;* 409. [4] 105. [6] Gen. after **ἕν,** 112. [8] 218.
[9] 105. [10] From **εἶπον.**

649. A Cool Reception

(Dicaeopolis goes to ask a favor of Euripides)

Δικαιόπολις. Ὥρα 'στιν ἄρα μοι καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι[1] βαδιστέ'[2] ἐστιν ὡς[3] Εὐριπίδην. παῖ, παῖ.
Θεράπων. Τίς οὗτος;
Δικ. Ἔνδον ἔστ' Εὐριπίδης;
Θερ. Οὐκ ἔνδον ἔνδον τ' ἐστίν, εἰ γνώμην ἔχεις.
Δικ. Πῶς ἔνδον εἶτ' οὐκ ἔνδον;
Θερ. Ὀρθῶς, ὦ γέρων.
ὁ νοῦς μὲν ἔξω συλ-λέγων ἐπύλλια
οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.
Δικ. Ὦ τρισμακάρ' Εὐριπίδη,
ὅθ'[4] ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑπο-κρίνεται.
ἐκ-κάλεσον αὐτόν. —— Θερ. Ἀλλ' ἀδύνατον.[5]
Δικ. Ἀλλ' ὅμως.[6]
οὐ γὰρ ἂν ἀπ-έλθοιμι, ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον.
Εὐριπίδης. Βάλλ' ἐς κόρακας·[7] τίς ἐσθ'[8] ὁ κόψας τὴν θύραν;
Δικ. Ὑπ-άκουσον,[9] εἴπερ πώποτ' ἀνθρώπων τινί·
ἀλλ' ἀντι-βολῶ πρὸς τῶν γονάτων σ', Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
Εὐρ. Ἀλλ' οὐ σχολή· ἀπ-ελθε νῦν, ὦ πονηρέ,
ὡς τάχιστα.

---

[1] 604. [2] Verbal of **βαδίζω**. [3] Prep. = **παρά**, with names of persons. [4] **ὅτε**.
[5] Sc. **ἐστίν**. [6] Sc. **ἐκ-κάλεσον αὐτόν**. [8] **ἐστι**. [9] Sc. **μοι**, 322. So also **τινί**.
[7] *go to the crows*, a favorite expression in comedy, like Lat. *in malem rem*.

650. The Coward

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπ-ειξίς τις ψυχῆς ἔμφοβος, ὁ δὲ δειλὸς τοιοῦτός τις, οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι· καὶ κλύδωνος γενομένου ἐρωτᾶν[1] εἴ τις μὴ μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου ἀνα-κύπτων μὲν πυνθάνεσθαι[1] εἰ μεσοπορεῖ καὶ τί αὐτῷ δοκεῖ τὰ τοῦ θεοῦ·[2] καὶ πρὸς τὸν παρα-καθήμενον λέγειν[1] ὅτι φοβεῖται διὰ ἐνύπνιόν τι· καὶ εὐθὺς διδόναι[1] τῷ παιδὶ[3] τὸν χιτωνίσκον, καὶ δεῖσθαι[1] πρὸς τὴν γῆν προσ-άγειν αὐτόν. καὶ στρατευόμενος δὲ πεζῇ ἐκ-βοηθοῦντάς τε προσ-καλεῖ κελεύων πρὸς αὑτὸν στάντας πρῶτον περι-ιδεῖν, καὶ λέγει ὡς ἔργον δια-γνῶναί ἐστι πότεροί εἰσιν οἱ πολέμιοι· καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας[4] εἰπὼν πρὸς τοὺς παρ-εστηκότας[5] ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς σπουδῆς ἐπ-ελάθετο, τρέχει ἐπὶ τὴν σκηνήν· καὶ τὸν παῖδα ἐκ-πέμψας καὶ κελεύσας προ-σκοπεῖσθαι ποῦ εἰσιν οἱ πολέμιοι, ἀπο-κρύπτει αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον· εἶτα δια-τρίβει πολὺν χρόνον ὡς ζητῶν ἐν τῇ σκηνῇ. καὶ ὁρῶν τραυματίαν τινὰ προσ-φερόμενον ὑπὸ τῶν φίλων προσ-δραμὼν καὶ θαρρεῖν κελεύσας ὑπο-λαβὼν φέρει· καὶ τοῦτον θεραπεύει καὶ περι-σπογγίζει καὶ παρα-καθήμενος ἀπὸ τοῦ ἕλκους τὰς μυίας σοβεῖ, καὶ πᾶν[6] μᾶλλον ἢ μάχεται τοῖς πολεμίοις· καὶ τοῦ σαλπιστοῦ[7] δὲ τὸ πολεμικὸν σημήναντος καθήμενος ἐν

---

[1] Limiting infin. after **οἷος**, like **φάσκειν**, above; for subject supply **τοὺς ναύτας**.

[2] **τὰ τοῦ θεοῦ**, *i.e.* the omens from the sacrifices. [3] His slave.

[4] Sc. **τινάς**. [5] From **παρ-ίστημι**. [6] *I.e.* **πᾶν ἥδιστα ποιεῖ**. [7] 392

τῇ σκηνῇ, λέγει. Ἄπαγ' ἐς[1] κόρακας·[2] οὐκ ἐάσεις τὸν ἄνθρωπον ὕπνου[3] λαβεῖν πυκνὰ σημαίνων;[4] καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος ἐν-τυγχάνει τοῖς ἐκ τῆς μάχης ἐπ-αν-ιοῦσι[5] καὶ δι-ηγεῖται ὡς, Κινδυνεύσας ἕνα σέσωκα τῶν φίλων, καὶ εἰσ-άγει πρὸς τὸν κατα-κείμενον σκεψομένους[6] τοὺς δημότας, τοὺς φυλέτας, καὶ τούτων ἅμα ἑκάστῳ δι-ηγεῖται ὡς αὐτὸς αὐτὸν ταῖς αὑτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

651. The Judgment of Paris

Ταῖς δέ ποτε θεαῖς περὶ τοῦ κάλλους ἀμφι-λεγούσαις τι[7] ἔδοξε κελεύειν τὸν Πάριν δικαστὴν γενέσθαι τοῦ κάλλους[8] αὐτῶν. τοῦ δὲ ἀγῶνος τὸ ἆθλον ἦν μῆλόν τι χρυσοῦν ἐν ᾧ ἐγέγραπτο Ἡ ΚΑΛΗ ΛΑΒΕΤΩ. ὑπ-έσχετό τι οὖν ἑκάστη τῶν θεῶν τῷ δικαστῇ.

Ἐὰν γάρ με, ὦ Πάρι, ἔφη Ἥρα, δικάσῃς εἶναι καλήν, ἁπάσης ἔσῃ τῆς Ἀσίας[9] δεσπότης.

Ἀθηνᾶ δ' εἶπε, Καὶ ἐάν με, ὦ Πάρι, δικάσῃς καλήν, οὔποτε ἥττων[9] ἄπ-ει ἐκ μάχης, ἀλλ' ἀεὶ κρατῶν.

Ὑπ-ισχνοῦμαι δή σοι ἐγώ, ἔφη ἡ Ἀφροδίτη, Ἑλένην παρα-δώσειν γυναῖκα,[10] τὴν καλλίστην τῆς γῆς. —

τίνι δή, οἴεσθε, ἔδωκεν ὁ Πάρις τὸ μῆλον;

---

[1] εἰς. [2] This phrase corresponds to the Latin *I in malam rem.*
[3] 297. [4] πυκνὰ σημαίνων, *with your everlasting signaling.*
[5] 322. [6] 388. [7] *having a bit of a dispute.* [8] Objective gen.
[9] See 341. [10] *as wife.*

652. The Eighth Commandment at Sparta

οἱ τῶν Σπαρτιατῶν νεανίαι, ὡς δὴ λέγεται, διδάσκουσι τοὺς παῖδας κλέπτειν. καὶ φέρουσιν οὗτοι ξύλα κλέπτοντες, καὶ λάχανα, οἱ μὲν ἐπὶ τοὺς κήπους βαδίζοντες, οἱ δὲ εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρ-εισρέοντες ὡς μάλιστα πεφυλαγμένως. ἐὰν δὲ ἁλῷ τις, πολλὰς λαμβάνει πληγὰς τῇ μάστιγι[1] ῥᾳθύμως δοκῶν[2] κλέπτειν καὶ ἀτέχνως. κλέπτουσι δὲ καὶ τῶν σιτίων[3] ὅ τι ἂν δύνωνται,[4] μανθάνοντες εὐφυῶς ἐπι-τίθεσθαι τοῖς καθεύδουσιν[5] ἢ ῥᾳθύμως φυλάττουσι.[5] τῷ δὲ ἁλόντι ζημία[6] πληγαὶ καὶ τὸ πεινῆν.[7] γλίσχρον γὰρ αὐτοῖς[8] ἐστι δεῖπνον, ὅπως δι' αὐτῶν[9] ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν. οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες ὥστε λέγεταί τίς ποτε σκύμνον ἀλώπεκος κλέψας καὶ τῷ τριβωνίῳ περιστέλλων, σπαραττόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα τοῖς ὄνυξι[1] καὶ τοῖς ὀδοῦσιν, ὑπὲρ τοῦ λαθεῖν ἐγκαρτερῶν ἀποθανεῖν. καὶ τοῦτο μὲν οὐδὲ ἀπὸ τῶν νῦν ἐφήβων ἄπιστόν ἐστιν, ὧν πολλοὺς ἐπὶ τοῦ βωμοῦ τῆς θεᾶς ἑωράκαμεν ἀποθνῄσκοντας ταῖς πληγαῖς.[10]

653. The Good and the Beautiful

Ἀρίστιππος ἐπ-εχείρησέ ποτε ἐλέγχειν τὸν Σωκράτην, ὥσπερ αὐτὸς ὑπ' ἐκείνου τὸ πρότερον ἠλέγχετο. ὁ δὲ Σωκράτης, βουλόμενος τοὺς συν-όντας ὠφελεῖν, ἀπ-εκρίνατο, οὐχ ὥσπερ οἱ φυλαττόμενοι μή πῃ ὁ λόγος

---

[1] 403, 6. [2] 388, *b*. [3] 112. [4] 574. [5] 322. [6] Sc. **ἐστί**. [7] 104, 409. [8] 115. [9] *by their own efforts.* [10] 403, 2.

ἐπ-αλλαχθῇ,[1] ἀλλ' ὡς ἂν[2] πεπεισμένοι μάλιστα δεῖν πράττειν τὰ δέοντα. ὁ μὲν γὰρ αὐτὸν ἤρετο εἴ τι εἰδείη ἀγαθόν, ἵνα εἴ τι εἴποι τῶν τοιούτων οἷον ἢ σιτίον, ἢ ποτόν, ἢ χρήματα, ἢ ὑγίειαν, ἢ ῥώμην, ἢ τόλμαν, δεικνύοι δὴ τοῦτο κακὸν ἐνίοτε ὄν.[3] ὁ δὲ εἰδὼς ὅτι ἐάν τι ἐν-οχλῇ ἡμῖν, δεόμεθα τοῦ παύσοντος,[4] ἀπ-εκρίνατο, ὥσπερ καὶ κράτιστον ἔδοξεν· Ἆρά γε, ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ[5] ἀγαθόν; —

Οὐκ ἔγωγ', ἔφη.

Ἀλλ' ὀφθαλμίας;

Οὐδὲ τοῦτο.

Ἀλλὰ λιμοῦ;

Οὐδὲ λιμοῦ.

Ἀλλὰ μήν, ἔφη, εἴγ' ἐρωτᾷς με, εἴ τι ἀγαθὸν οἶδα, ὃ μηδενὸς[6] ἀγαθόν ἐστιν, οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι.

πάλιν δὲ τοῦ Ἀριστίππου ἐρωτῶντος αὐτὸν εἴ τι εἰδείη καλόν, Καὶ πολλά, ἔφη.

Ἆρ' οὖν, ἔφη, πάντα ὅμοια ἀλλήλοις[7];

Ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια.[8]

Πῶς οὖν, ἔφη, τὸ τῷ καλῷ[7] ἀνόμοιον καλὸν ἂν εἴη;

Ὅτι, νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς[9] δρόμον ἀνθρώπῳ ἄλλος ἀνόμοιος, καλὸς πρὸς πάλην ὤν· ἔστι

---

1 *I.e.* so as to mean something which he did not intend.

2 ὡς ἄν, *i.e.* ὡς ἄν τινες ἀπο-κρίναιντο, εἰ πεπεισμένοι εἴησαν.

3 441.

4 **τοῦ παύσοντος**, *that which shall relieve us* (*from it*).

5 **πυρετοῦ**, *for fever*, objective gen.

6 Like **πυρετοῦ**, above.

7 116.

8 Sc. **ἔστι.**

9 *for, with reference to.*

δὲ ἀσπίς, καλὴ οὖσα πρὸς τὸ προ-βαλέσθαι, ὡς ἀνομοιοτάτη τῷ ἀκοντίῳ, καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι ὄντι.

Οὐδὲν διαφερόντως, ἔφη, ἀπο-κρίνῃ μοι ἢ ὅτε σε ἠρώτησα εἴ τι ἀγαθὸν εἰδείης.

Σὺ δ᾽ οἴει, ἔφη, ἄλλο μὲν ἀγαθόν, ἄλλο δὲ καλὸν εἶναι; οὐκ οἶσθα ὅτι πρὸς[1] ταὐτὰ πάντα καλά τε κἀγαθά ἐστιν; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθόν, πρὸς ἄλλα δὲ καλόν ἐστιν· ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό[2] τε καὶ πρὸς τὰ αὐτὰ καλοὶ κἀγαθοὶ λέγονται· πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα τῶν ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται· πρὸς ταὐτὰ δὲ καὶ τἆλλα πάντα, οἷς[3] ἄνθρωποι χρῶνται, καλά τε κἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ.[4]

Ἆρ᾽ οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστιν;

Νὴ Δί᾽, ἔφη, καὶ χρυσῆ γε ἀσπὶς αἰσχρόν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα ὁ μὲν καλῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς.

Λέγεις σύ, ἔφη, καλὰ καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι[5];

Καὶ νὴ Δί᾽ ἔγωγ᾽, ἔφη, ἀγαθά τε καὶ κακά· πολλάκις γὰρ τό τε λιμοῦ ἀγαθὸν πυρετοῦ κακόν ἐστι, καὶ τὸ πυρετοῦ ἀγαθὸν λιμοῦ κακόν ἐστι. πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον καλὸν πρὸς πάλην αἰσχρόν, τὸ δὲ πρὸς πάλην καλὸν πρὸς δρόμον αἰσχρόν· πάντα γὰρ ἀγαθὰ μὲν καὶ καλά ἐστι, πρὸς ἃ ἂν εὖ ἔχῃ,[6] κακὰ δὲ καὶ αἰσχρά, πρὸς ἃ ἂν κακῶς.[7]

---

[1] *for, with reference to.*
[2] **τὸ αὐτό,** *in the same way.*
[3] 403, 7.
[4] 574.
[5] Notice this use of the infin. with **λέγεις.**
[6] *is adapted,* 574.
[7] Sc. **ἔχῃ.**

654. The Spartans at Thermopylae: B.C. 480

Ἐπειδὴ ὁ Ξέρξης καὶ οἱ Πέρσαι εἰσ-έβαλον εἰς τὴν Ἑλλάδα, ὑπ-έμενον οἱ Ἕλληνες ἐν Θερμοπύλαις· ἐνταῦθα γὰρ δίοδος ἦν ἡ μόνη εἰς τὴν Ἑλλάδα· ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς στενὴ ὀρθία ἰσχυρῶς καὶ χαλεπὴ εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν. ἐστρατήγει δὲ τῶν Ἑλλήνων[1] Λεωνίδας, τῶν Λακεδαιμονίων βασιλεύς. ἐπεὶ δὲ ἐγγὺς ἐγένετο ὁ Ξέρξης ἱππέα προ-έπεμψε, κατα-σκεψόμενον[2] ὅ τι ποιοῖεν[3] οἱ Ἕλληνες καὶ ὁπόσοι εἶεν.[3] ὁ δὲ κατάσκοπος ἐθεώρησε τοὺς Λακεδαιμονίους (ἔξω γὰρ τεταγμένοι ἦσαν), τοὺς μὲν γυμναζομένους, τοὺς δὲ καὶ κόμας κτενιζομένους· οἱ γὰρ Λακεδαιμόνιοι κοσμοῦσι τὰς κεφαλάς, ἐπειδὰν μέλλωσι[4] κινδυνεύειν. τοῦτο δὲ ἀκούσας ὁ Ξέρξης πολὺ ἐθαύμασε.

μετὰ δὲ ταῦτα οἱ βάρβαροι τῇ πέμπτῃ ἡμέρᾳ ἐπιθέμενοι τοῖς Ἕλλησι[5] δῆλον πᾶσιν ἐποίουν ὅτι καίπερ πολλοὶ ὄντες οὐκ ἂν ῥᾳδίως νικῷεν. ἀπο-βαλόντες γὰρ πολλοὺς ὑπὸ τῶν σὺν Λεωνίδᾳ ταχέως δὴ ἀπ-ῆλθον εἰς τὰς σκηνάς. τῇ δὲ ὑστεραίᾳ ταὐτὸ ἐποίουν οὐδὲν ἄμεινον ἔχοντες.[6] τότε δὴ ἀποροῦντος βασιλέως τί χρὴ ποιεῖν, ἀνήρ τις Ἐφιάλτης τὸ ὄνομα[7] φράζει ἄλλην ἀτραπόν, διὰ τῶν ὀρῶν φέρουσαν εἰς τὰ ὀπίσω τῶν Ἑλλήνων.

ὁ δὲ Λεωνίδας, πυθόμενος ὅτι οἱ βάρβαροι ἤδη ἦσαν εἴσω τῶν ὀρῶν, τοὺς μὲν ἄλλους ἀπ-έπεμψεν, αὐτὸς δὲ καὶ τριακόσιοι Σπαρτιᾶται ὑπ-έμενον. τοῦτο γὰρ ποιήσας μέγα κλέος ᾤετο οἴσεσθαι[8] καὶ σώσειν τὴν πατρίδα. Ἀπόλλωνος γὰρ χρησμὸς ἦν ὅτι ἢ δέοι τὴν

---

[1] 297. [2] 388, *e*. [3] 553. [4] 574. [5] 322. [6] *with no better success.* [7] 148. [8] Fut. mid. of **φέρω**.

Λακεδαίμονα ἢ τὸν βασιλέα αὐτῶν ἀπ-ολέσθαι. ἐπ-ιόντων δὲ τῶν Περσῶν τέως μὲν ἀντ-εῖχον καὶ πολλοὺς ἀπ-έκτειναν· τέλος δὲ πάντες ἀπ-έθανον μαχόμενοι. ἐπὶ δὲ τῷ τάφῳ αὐτῶν τοῦτο τὸ ἔπος ἐπι-γέγραπται·

Ὦ ξεῖν᾽ ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.[1]

ἐν δὲ ταύτῃ τῇ μάχῃ ἄριστος ἐγένετο Σπαρτιάτης τις, Διηνεκὴς τὸ ὄνομα. οὗτος δὲ πρὶν τὴν μάχην γενέσθαι[2] ἤκουσε ξένου τινὸς λέγοντος ὅτι ἐπειδὴ οἱ βάρβαροι τοξεύοιεν, ἀπο-κρύψοιεν[3] τὸν ἥλιον ὑπὸ τοῦ πλήθους τῶν τοξευμάτων· ὁ δὲ Διηνεκὴς οὗτος τοιάδε ἀπ-εκρίνατο· Καλά, ὦ ξένε, ἀγγέλλεις· ἐὰν γὰρ οἱ Μῆδοι ἀπο-κρύπτωσι τὸν ἥλιον, ὑπὸ σκιᾷ μαχούμεθα πρὸς αὐτούς, καὶ οὐκ ἐν ἡλίῳ.

655. The Battle of Cunaxa

(Simplified from Anabasis I. viii. 8–29)

1. Ἡνίκα δὲ δείλη ἐγίγνετο ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκὴ ἐν τῷ πεδίῳ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων[4] ἄρχειν· ἦσαν δὲ καὶ γερροφόροι καὶ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δ᾽ οὗτοι ἐλέ-



1. Cavalry. 2. Peltasts. 3 Hoplites. 4 Cyrus and the six hundred. 5. Barbarians. a Artaxerxes and the six thousand.

[1] See 179.
[2] 582.
[3] A Vivid Future Condition in indirect discourse.
[4] 297.

γοντο εἶναι· ἄλλοι[1] δ' ἱππεῖς, τοξόται ἄλλοι. πρὸ δὲ αὐτῶν ἦν ἅρματα τὰ δὴ δρεπανηφόρα καλούμενα[2]· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀπο-τεταμένα.[3] καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὥστε δια-κόπτειν[4] ὅτῳ ἐν-τυγχάνοιεν. ὃ μέντοι Κῦρος εἶπεν ὅτε καλέσας παρ-εκελεύετο τοῖς Ἕλλησι[5] τὴν κραυγὴν τῶν βαρβάρων ἀν-έχεσθαι, ἐψεύσθη τοῦτο[6]· οὐ γὰρ κραυγῇ[7] ἀλλὰ σιγῇ καὶ ἡσυχῇ καὶ βραδέως προσ-ῇσαν.

2. Καὶ ἐν τούτῳ Κῦρος παρ-ελαύνων σὺν τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα, Ἄγε τὸ στράτευμα κατὰ τὸ μέσον τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεύς ἐστιν. ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀπο-σπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπ-εκρίνατο ὅτι αὐτῷ μέλοι ὅπως καλῶς ἔχοι.[8] καὶ ἐν τούτῳ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προ-ῄει, τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον[9] συν-ετάττετο ἐκ τῶν ἔτι προσ-ιόντων. καὶ ὁ Κῦρος παρ-ελαύνων κατ-εθεᾶτο ἑκατέρωσε, ἀπο-βλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος ὑπ-ελάσας[10] ἤρετο εἴ τι παρ-αγγέλλοι.[11] ὁ δὲ Κῦρος λέγειν ἐκέλευσε πᾶσιν ὅτι τὰ ἱερὰ καλά ἐστι. ταῦτα δὲ λέγων θορύβου[12] ἤκουσε διὰ τῶν

---

[1] *more.* [2] See 278. [3] From ἀπο-τείνω. [4] 580.
[5] 322. [6] Antecedent of ὅ; 148. [7] 403, 3.
[8] ὅτι . . . μέλοι . . . ἔχοι, indir. disc. for ἐμοὶ μέλει ὅπως καλῶς ἔχῃ.
[9] Acc. neut. of pres. act. partic. [10] From ὑπ-ελαύνω.
[11] *if he had any commands.* What literally? What is the form of the direct question? [12] 297.

τάξεων ἰόντος, καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. ὁ δὲ Κλέαρχος εἶπεν ὅτι σύνθημα παρ-έρχοιτο δεύτερον ἤδη. Καὶ οὗτος ἤρετο ὅ τι εἴη τὸ σύνθημα. ὁ δ' ἀπ-εκρίνατο. Ζεὺς σωτὴρ καὶ νίκη. ὁ δὲ Κῦρος ἀκούσας. Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο ἔστω. Ταῦτα δ' εἰπὼν εἰς τὴν αὑτοῦ χώραν[1] ἀπ-ήλαυνε.

3. Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια δι-ειχέτην[2] τὼ φάλαγγε[2] ἀπ' ἀλλήλων ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο[3] ἀντίοι ἰέναι τοῖς πολεμίοις.[4] ἔνιοι δὲ ἤρξαντο δρόμῳ θεῖν. λέγουσι δέ τινες ὡς καὶ ἐβόων πάντες καὶ ταῖς ἀσπίσι[5] πρὸς τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξ-ικνεῖσθαι[6] ἐκ-κλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι· καὶ ἐνταῦθα δὴ ἐδίωκον[7] μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι· τὰ δ' ἅρματα ἐφέροντο[8] τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ[9] διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων.[10] οἱ δὲ δι-ίσταντο καὶ ἐν πάσῃ τῇ μάχῃ τῶν Ἑλλήνων ἔπαθεν οὐδεὶς οὐδέν. Κῦρος δὲ ἥδεται καὶ ἤδη ὡς βασιλεὺς προσ-κυνεῖται ὑπὸ τῶν ἀμφ' αὐτόν. οὐ μέντοι ἐξ-άγεται διώκειν, ἀλλὰ ἔχων τοὺς σὺν ἑαυτῷ ἑξακοσίους ἱππέας ἐν τάξει ἐπι-μελεῖται ὅ τι ποιήσοι βασιλεύς. πάντες γὰρ οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὑτῶν ἡγοῦνται.[11] καὶ βασιλεὺς δὴ

---

[1] *I.e.* as commander-in-chief.

[2] Third person dual. Notice the force of **διά** here. Cf. *dis*-iungo in Latin.

[3] Not from **ἄρχομαι**.

[4] 116.

[5] 403, 6.

[6] 582.

[7] What is the force of the imperfect here?

[8] An exception to 85.

[9] *even.*

[10] Gen. after **κενά**, on the principle of 203.

[11] Present of a general truth.

τότε μέσον ἔχων τῆς αὑτοῦ στρατιᾶς ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος.

4. Ἐπεὶ δ᾽ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἐναντίου ἐπ-έκαμπτε βασιλεὺς ὡς εἰς κύκλωσιν.[1] ἔνθα δὴ Κῦρος δείσας μὴ βασιλεὺς ὄπισθεν γενόμενος κατα-κόψῃ τὸ Ἑλληνικὸν ἐλαύνει ἀντίος.[2] καὶ ἐμ-βαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀπο-κτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ τὸν ἄρχοντα αὐτῶν. οἱ δὲ Κύρου ἑξακόσιοι οἴχονται διώκοντες πλὴν πάνυ ὀλίγων ἀμφ᾽ αὐτόν. σὺν τούτοις δὲ ὢν καθ-ορᾷ βασιλέα καὶ τὸ ἀμφ᾽ ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἀν-έχεται. ἀλλ᾽ εἰπών, Τὸν ἄνδρα ὁρῶ, ἵετο ἐπ᾽ αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος. παίοντα δὲ ἀκοντίζει τις Κῦρον παλτῷ ὑπὸ τὸν ὀφθαλμόν· καὶ ἐνταῦθα μαχόμενοι καὶ Κῦρος αὐτὸς ἀπ-έθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ᾽ αὐτῷ. Ἀρταπάτης δ᾽ ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων λέγεται ἐπειδὴ πεπτωκότα[3] εἶδε Κῦρον κατα-πηδήσας ἀπὸ τοῦ ἵππου περι-πεσεῖν[4] αὐτῷ.[5] οὗτος γὰρ ἐτετίμητο ὑπὸ Κύρου δι᾽ εὔνοιάν τε καὶ πιστότητα.

---

[1] A phrase of purpose.
[2] **ἐλαύνει ἀντίος**, *rides (rode) to meet.*
[3] From **πίπτω**.
[4] From **περι-πίπτω**.
[5] 322.



Fragment: Warrior and Chariot.

656. The End of a Great Struggle

(Peloponnesian War, B.C. 431–404)

Οἱ δὲ Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν[1] τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς[2] ὄντων[3] οὔτε σίτου· ὥστε ἐνόμιζον πάντες πάντα[4] δεῖν παθεῖν τὰ δεινότατα. διὰ ταῦτα ἐκαρτέρουν καὶ πολλῶν ἐν τῇ πόλει λιμῷ ἀποθνῃσκόντων[5] οὐ δι-ελέγοντο περὶ διαλλαγῆς. ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπ-ελελοίπει, ἔπεμψαν πρέσβεις παρ' Ἆγιν, βουλόμενοι σύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ,[6] καὶ ἐπὶ τούτοις[7] συνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ ἔφη εἶναι κύριος τούτων αὐτός. ἐπεὶ δὲ ἀπ-ήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς Λακεδαίμονα. ἐπεὶ δὲ οἱ ἔφοροι ἐπύθοντο αὐτῶν[8] ἃ ἔλεγον, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπ-ιέναι, καὶ εἴ τι[9] δέονται εἰρήνης,[10] κάλλιον ἥκειν βουλευσαμένους.

οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε καὶ ἀπ-ήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐν-έπεσε πᾶσιν·[11] ὅμως δὲ περὶ τῶν τειχῶν[12] τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο συμ-βουλεύειν· ἐγένετο γὰρ τῆς βουλῆς ψήφισμα μὴ[13] ἐξ-εῖναι περὶ τούτων συμ-βουλεύειν. τούτων δὲ τοιούτων ὄντων Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ ὅτι εἰ βούλοιτο

---

[1] From **ἀπορέω**. [2] 115. [3] 392.
[4] Modifies **τὰ δεινότατα**. [5] Concessive.
[6] Declined **Πειραιεύς, Πειραιῶς, Πειραιεῖ, Πειραιᾶ**.
[7] *on these terms.* [8] 398, 1. [9] *at all.* [10] 297.
[11] 322. [12] Objective gen. [13] Why not **οὐ**?

